ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖ-
τε φῶς, καὶ σκότος, καὶ νύκτες, καὶ ἡμέραι τὸν
κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας. Εὐλογεῖτε ἡ γῆ, ὄρη, καὶ βουνοί,
πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν κύριον,
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
Εὐλογεῖτε πηγαί, θάλασσαι, καὶ ποταμοί,
κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι
τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας. Εὐλογεῖτε πάντα τὰ πετεινὰ
τοῦ οὐρανοῦ, τὰ θηρία, καὶ πάντα τὰ κτή-
νη, τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε υἱοὶ τῶν
ἀνθρώπων, εὐλογείτω Ἰσραὴλ τὸν κύριον,
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
Εὐλογεῖτε ἱερεῖς κυρίου, δοῦλοι κυρίου
τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας. Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ
δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ τὸν
κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας. Εὐλογεῖτε Ἀνανία, Ἀζαρία,
Μισαὴλ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε



http://digital.slub-dresden.de/ppn346241804/319